 ed. R. Keydell, [C.F.H.B. 2], Berlin 1967 

# ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ

## ΙΣΤΟΡΙΩΝ Α

### ΠΡΟΟΙΜΙΟΝ

Καλὸν μέν τι χρῆμα καὶ εὔδαιμον νῖκαι πολέμων καὶ τρόπαια πόλεών τε ἀνοικισμοὶ καὶ ἀγλαΐσματα καὶ ἅπαντα ὁπόσα μεγάλα τε καὶ ἀξιάγαστα ἔργα. ταῦτα δὲ καὶ τὰ τοιάδε δόξαν μέν τινα καὶ ἡδονὴν τοῖς κτησαμένοις ἐπάγει, ἀποβιοῦσι δὲ αὐτοῖς καὶ ἐκεῖσε οἰχομένοις οὔτι μάλα ἐθέλουσιν ἕπεσθαι, ἀλλὰ καὶ λήθη παρεμπεσοῦσα ἐπικαλύπτει καὶ παρατρέπει τὰς ἀληθεῖς τῶν πράξεων ἀποβάσεις· ἤδη δὲ καὶ τῶν ἐπισταμένων ἀποβιούντων οἴχεται καὶ διαδιδράσκει ἡ γνῶσις σὺν αὐτοῖς σβεννυμένη. 2 οὕτως ἄρα μνήμη γυμνὴ ἀνόνητόν τι καὶ οὐ μόνιμον οὐδὲ τῷ μακρῷ συνεκτείνεσθαι πέφυκε χρόνῳ. καὶ οὐκ ἂν οἶμαι ἢ πατρίδος προκινδυνεύειν ἔνιοι ἔγνωσαν ἢ ἄλλους ἀναδέχεσθαι πόνους, εὖ εἰδότες, ὡς, εἰ καὶ σφόδρα μέγιστα δράσαιεν, συναπολεῖται τὸ κλέος αὐτοῖς καὶ διαρρυήσεται, μόνῳ τῷ βίῳ αὐτῶν ἐκμεμετρημένον, εἰ μή τις, ὡς ἔοικε, θεία προμήθεια τὸ ἀσθενὲς τῆς φύσεως ἀναρρωννῦσα τὰ ἐκ τῆς ἱστορίας ἐπεισήγαγεν ἀγαθὰ καὶ τὰς ἐνθένδε ἐλπίδας. 3 οὐ γὰρ οἶμαι κοτίνου γε ἕνεκα καὶ σελίνου οἱ Ὀλυμπιονῖκαι ⟨καὶ Νεμεονῖκαι⟩ ἐν ταῖς κονίστραις ἐναπεδύοντο, οὐδ' αὖ οἱ ἀγαθοὶ τῶν πολέμων ἀγωνισταὶ λαφύρων γε μόνον καὶ τοῦ παραυτίκα κερδαλέου ἐφιέμενοι ἐς προὖπτόν τε καὶ διαφανῆ κίνδυνον σφᾶς αὐτοὺς ἀφιᾶσιν· ἀλλὰ δόξης ἀμφότεροι ἕκατι βεβαίας τε καὶ ἀκηράτου,

LWA, $V^a$PR, O

ΑΓΑΘΙΟΥ—ΠΡΟΟΙΜΙΟΝ Key Niebuhrium secutus: ἀγαθίου σχολαστικοῦ χρονικὴ διήγησις τῆς βασιλείας Ἰουστινιανοῦ, img. τόμος ά L: ἀγαθίου σχολαστικοῦ ἀσσιανοῦ μυρριναίου ἱστορίαι τῆς περσῶν βασιλείας W: ἀγαπίου (sic) ῥήτορος ἱστορίαι τῆς περσῶν βασιλείας A: deest titulus $V^a$: finxit titulum (*Agathius de bello Gothorum et aliis peregrinis historiis*) P: ἀγαθίου σχολαστικοῦ μυριναίου ἱστοριῶν ά R: ἀγαθίου σχολαστικοῦ ἀσιανοῦ μυρριναίου ἱστοριῶν ᾱ O. Agathiam neque tempus omne usque ad Iustiniani mortem his libris persecutum esse neque Iustinianei temporis finibus opus suum circumscribere sibi proposuisse Nieb iure annotavit.

1 μέν τι LWAO: μέντοι $V^a$R  2 ὁπόσα καὶ μεγάλα O  4 τὲ pro δὲ A  7 ad ἀποβιούντων cf. Procop. Bell. 8, 20, 48  8 τι L$V^a$RO: ἐστι WA  9 συνεκτείνειν L  ἢ $V^a$P (*aut*) RO: ἢ καὶ L: εἰ καὶ WA  11 δράσαιεν LAR: δράσαιαν W$V^a$: δράσειεν O  15 καὶ Νεμεονῖκαι add. Mein  16 μόνον LWR: -νων o super ω scr. AO: -νον ex -νων $V^a$  17 κερδαλέου L$V^a$RO: κέρδους WA



ἣν οὐχ οἷόν τε ἄλλως καρπώσασθαι ἢ τῆς ἱστορίας αὐτοὺς ἀπαθανατιζούσης, οὐχ οἷα τὰ Ζαμόλξιδος νόμιμα καὶ ἡ Γετικὴ παραφροσύνη, ἀλλ' ὡς ἀληθῶς τρόπῳ τινὶ θείῳ τε καὶ ἀθανάτῳ καὶ ᾧ μόνῳ δύναται τὰ θνητὰ ἐς ἀεὶ διαβιώσκειν. 4 ῥᾴδιον μὲν οὖν ἥκιστα ἂν εἴη ἅπαντα διεξιέναι καὶ ἀπαριθμεῖσθαι, ὁπόσων ἀγαθῶν ἡ ἱστορία τὸν βίον ἐμπίπλησι τὸν ἀνθρώπειον· ὡς δὲ συλλήβδην εἰπεῖν, οἶμαί γε αὐτὴν φιλοσοφίας τῆς πολιτικῆς οὐ μάλα μειονεκτεῖσθαι, εἰ μή τι καὶ μᾶλλον ὀνίνησιν. 5 ἣ μὲν γὰρ οἷά τις ἀστεμφὴς δέσποινα καὶ ἀθώπευτος κελεύει καὶ διατάττει, ὁποίων τε ἔχεσθαι καὶ ὁποῖα διαφεύγειν προσήκει, ὥσπερ τῷ πείθοντι καταμιγνῦσα τὸ ἀναγκάζον· ἡ δὲ τῷ θέλγοντι πλείστῳ χρωμένη καὶ οἷον καρυκεύουσα τὰς ἀπαγγελίας τῇ ποικιλίᾳ τῶν παραδειγμάτων καὶ παριστῶσα τῷ λόγῳ, ἐν οἷς τε εὐδοκιμήκασιν ἄνθρωποι εὐβουλίᾳ χρησάμενοι καὶ δικαιοσύνῃ, καὶ ἔνθα διήμαρτον τοῦ προσήκοντος, ἢ γνώμης τινὸς ἐναντίας ἢ τύχης ἡγησαμένης, λανθάνει ταῖς ψυχαῖς ἠρέμα τὰς ἀρετὰς εἰσοικίζουσα. τὸ γὰρ προσηνὲς αὐταῖς καὶ αὐθαίρετον μᾶλλόν τι ἐμφύεται καὶ προσιζάνει. 6 ἐγὼ μὲν οὖν ταῦτα ἐκ πλείστου σκοπῶν τε καὶ διαλογιζόμενος, ὑπεράγασθαι μὲν χρῆναι ἡγούμην καὶ κοινοὺς ἀνυμνεῖν εὐεργέτας τοὺς ὁπόσοις ἤδη αἱ τοιαίδε πραγματεῖαι διαπεπόνηνται, οὐ μὴν ἐγχειρητέα γ' ἐμοὶ τῷδε τῷ πόνῳ ἐδόκει οὐδὲ τὴν ἀρχὴν ἀποπειρατέα. 7 ἐτύγχανον γὰρ μᾶλλον δή τι ἐκ παίδων τῷ ἡρῴῳ ῥυθμῷ ἀνειμένος, καί με ἤρεσκε τὰ ἡδύσματα τῶν τῆς ποιητικῆς κομψευμάτων. καὶ τοίνυν πεποίηταί μοι ἐν ἑξαμέτροις βραχέα ἄττα ποιήματα, ἃ δὴ Δαφνιακὰ ἐπωνόμασται, μύθοις τισὶ πεποικιλμένα ἐρωτικοῖς καὶ τῶν τοιούτων ἀνάπλεα γοητευμάτων. 8 ἔδοξε δέ μοι πρότερον κἀκεῖνο ἀξιέπαινόν τι εἶναι καὶ οὐκ ἄχαρι, εἴ γε τῶν ἐπιγραμμάτων τὰ ἀρτιγενῆ καὶ νεώτερα, διαλανθάνοντα ἔτι καὶ χύδην οὑτωσὶ παρ' ἐνίοις ὑποψιθυριζόμενα, ἀγείραιμί τε ὡς οἷόν τε εἰς ταὐτὸ καὶ ἀναγράψαιμι ἕκαστα ἐν κόσμῳ ἀποκεκριμένα. καὶ οὖν δὴ καὶ τόδε μοι ἐκτετέλεσται ἕτερά τε πολλὰ ἀγωνίσματα, τοῦ μὲν ἀναγκαίου χάριν οὐ μάλα πεποιημένα, ἄλλως δὲ ἴσως προσαγωγὰ καὶ θελκτήρια. 9 καὶ γὰρ δῆτα ἡ ποίησις ἱερόν τι χρῆμα καὶ θεσπέσιον. ἐνθουσιῶσι γοῦν ἐν αὐτῇ αἱ ψυχαί, εἴποι ἂν ὁ

2 cf Herod. 4, 94 sq.

LWA, $V^a$PR, O  7 μειονεκτεῖσθαι — 16 προσιζάνει $C^b$  30 ἡ ποίησις — 5, 2 βακχείᾳ $C^b$

5 τὸν β. ἐμπίπλ. τὸν ἀνθρώπινον ἱστορία O  7 πολιτικῆς L$V^a$P (*civili*) RO: ποιητικῆς WA  8 ἀνόθευτος ut videtur A pc.  11 ἀπαγγελίας LP (*quae narrantur*) R$C^b$: ἐπαγγελίας WAO: -λείας $V^a$  12 παριστᾶσα L  18 αἱ om. L  19 γε ἐμοὶ Di: ἔμοι L: γέ μοι WA$V^a$: γάρ μοι R: om. O  τῷδε τῷ LWA$V^a$R: τῷ αὐτῷ O  οὐδὲ L$V^a$RO: οὐδέ γε WA  κατὰ ante τὴν add. L  20 ἐκ παίδων om. A  21 με $V^a$RO: μοι LWA  κομψευμάτων LWAO: κομψευσμάτων $V^a$R  23 δαφνιακὰ LWA (cf. Anth. Pal. VI 80, 1): δαφνικὰ $V^a$PRO  24 δέ om. $V^a$  27 ταὐτὸ LAO: ταὐτὸν W$V^a$R  28 ἑτερά τε — 5, 5 γιγνώσκειν om. P

σοφὸς ὁ Ἀρίστωνος, καὶ λίαν ὠδίνουσιν ἐπαφρόδιτα, ὅσαι δὴ ὡς ἀληθῶς μουσόληπτοι γίνονται καὶ τῇδε κάτοχοι τῇ βακχείᾳ. 10 ἐμοὶ μὲν οὖν τοῖσδε θα|μίζειν ἐδόκει καὶ οὔ μήποτε ἑκόντι εἶναι τὰ νεανικὰ ταῦτα καὶ ἐπιτερπῆ σπουδάσματα μεθιέναι, ἀλλ' ἕπεσθαι τῷ Δελφικῷ ἐκείνῳ προγράμματι καὶ τὰ οἰκεῖα γιγνώσκειν. ἐπειδὴ δὲ ἐν τῷ κατ' ἐμὲ χρόνῳ ξυνέβη μεγάλους μὲν πολέμους πολλαχοῦ τῆς οἰκουμένης ἀπροσδόκητα ξυρραγῆναι ἐθνῶν τε πολλῶν βαρβαρικῶν μεταναστάσεις γενέσθαι καὶ πράξεων ἀδήλων τε καὶ ἀπίστων παραλόγους ἀποβάσεις καὶ τύχης ἀτάκτους ἀντιρροπίας γενῶν τε καταλύσεις καὶ πόλεων ἀνδραποδισμοὺς καὶ μεταβολὰς οἰκητόρων καὶ οἷον ἅπαντα τὰ ἀνθρώπεια κεκινῆσθαι· ἐπειδὴ οὖν ταῦτα καὶ τὰ τοιάδε ξυνέβη, δεδιέναι μοί πως ἐπῆλθε, μή τι ἄρα οὐχ ὅσιον εἴη ἔργα οὕτω μέγιστά τε καὶ θαύματος ἄξια καὶ τοῖς μετὰ ταῦτα χρήσιμα ἐσόμενα καὶ ὀνησιφόρα καταλιπεῖν ἄμνηστα τὸ μέρος καὶ σεσιγημένα. 11 τοιγάρτοι ἔδοξέ μοι οὐκ ἀπὸ τρόπου εἶναι καὶ τοῦ συγγράφειν ἁμωσγέπως ἀποπειρᾶσθαι, ὡς ἂν μοι μὴ ἅπας ὁ βίος ἐν μυθολογίᾳ τε καὶ περιττῷ πόνῳ ἀναλωθείη, ἀλλά τι φέροιτο καὶ ἀναγκαῖον. πολλοὶ δέ με καὶ τῶν ἐπιτηδείων ἐπείγοντες καὶ ἐγκελευόμενοι ἐξηρέθισαν τὴν ὁρμὴν καὶ ἐπέρρωσαν· ἐν τοῖς Εὐτυχιανὸς ὁ νέος ἀρχηγός γε ἦν τῆς παραινέσεως, ἀνὴρ τὰ πρῶτα τελῶν ἐν τοῖς τῶν βασιλέων ὑπογραφεῦσι καὶ | τὰ ἄλλα ἀγαθὸς καὶ ἀγχινούστατος παιδείας τε ἀποχρώντως ἔχων καὶ τοῦ τῶν Φλωριδῶν γένους ἄριστον ἐγκαλλώπισμα γεγενημένος. 12 οὗτος δὴ οὖν ὁ ἀνήρ, περὶ πλείστου γὰρ τἀμὰ ἐποιεῖτο καὶ ὡς ἄν μοι ἄμεινόν τι ἔσται εὐκλείας τε πέρι καὶ τῆς ἄλλης ὠφελείας σφόδρα οἱ ἐπεφρόντιστο, οὐκ ἀνίει ἐπείγων καὶ χρηστὰς ὑποφαίνων ἐλπίδας. δεῖν γὰρ οὐκ ἔφασκεν οὕτω χαλεπὸν ἡγεῖσθαί μοι καὶ ἀνήνυτον τὸ ἐγχείρημα οὐδὲ τῷ μήπω ἐς πεῖραν ἐλθεῖν, ὥσπερ ναυτιλίαν οἱ ἀθα-

1 cf. Plat. Phaedr. 245a

LWA, $V^a$PR, O

1 ὁ ante ἀρίστωνος om. $C^b$ ὅσοι W 3 θαμίζειν A$V^a$RO: θαυμάζειν LW 4 τοῖς δελφικοῖς ἐκείνῳ (οις super ω scr. 2. m., ut videtur) προγράμμασι R 5 ἐπειδὴ LWA: ἐπεὶ $V^a$RO 8 ἀποφάνσεις O 9 καταλύσεις LWAO: κατακλίσεις $V^a$: κατακλύσεις R 11 μοί πως LAPO: μοι πῶς R: μήπος W: μή πως $V^a$ 12 τε om. L 14 καὶ σεσ. τὸ μ. L 15 τοῦ om. $V^a$R μοι μὴ LAO: μοι W: μὴ $V^a$PR 16 μυθολογίαις $V^a$ περιττῷ πόνῳ $V^a$RO: πόνῳ περιττῷ LWA ἀλλά τι — 7, 16 ἀξίων om. P 18 ad ἐν τοῖς cf. 138, 18; 179, 11; Procop. Bell. 2, 30, 43; 8, 17, 18; 8, 32, 22 εὐτυχιανὸς LWAO: εὐχιανὸς $V^a$: ἐχιδνὸς R ὁ νέος om. O 19 γε LWA: τε $V^a$RO ἀνὴρ τὰ LWAO: ἀνὴρ τε $V^a$: ἀνὴρ τε (α super ε scr. 2. m., ut videtur) R 20 τε libri: δὲ Di 21 ἀποχρώντως $V^a$RO: οὐκ ἀποχρ. LWA 22 γεγενημένος LWAO: -νον $V^a$R περὶ πλείστου γὰρ $V^a$RO: ἐπεὶ π. πλ. LWA 23 πλείστου post μοι add. W τε om. R 24 ὑποφαίνων LWAO (cf. Demosth. 19, 123 μικρὰν ὑπεφήνατ' ἐλπίδα): ἐμφαίνων $V^a$R 25 τὰς ante ἐλπ. add. R οὐκ om. WO μου O ἀνήνυτον LWAO: ἀνόνητον $V^a$R 26 μήπω ἐς LWAO: μὴ πρὸς τὴν $V^a$: μήτε πρὸς τὴν R



λάττωτοι, καταπεπλῆχθαι· οἴεσθαι δὲ μᾶλλον οὐ πόρρω τετάχθαι ἱστορίαν ποιητικῆς, ἀλλὰ ἄμφω ταῦτα εἶναι ἀδελφὰ καὶ ὁμόφυλα καὶ μόνῳ ἴσως τῷ μέτρῳ ἔστιν ἢ ἀλλήλων ἀποκεκριμένα. ὡς δὴ οὖν οἴκοθεν οἴκαδε οὔσης τῆς μεταστάσεως θαρροῦντά τε ἰέναι ἐκέλευε καὶ σθένει παντὶ ἔχεσθαι ἔργου. 13 ἀλλὰ γὰρ τοιαῦτα ἐπᾴδων ἤδη μοι καὶ αὐτῷ βουλομένῳ κατεκήλησέ γε ῥᾳδίως καὶ ἔπεισεν. καὶ τοίνυν ἐς τάδε ἀφῖγμαι. ἀλλά μοι εἴη ἄξιόν τι δρᾶσαι τῆς προθυμίας καὶ τοῦ μεγέθους τῶν ἔργων ὡς ἐγγυτάτω ἱκέσθαι. 14 Δηλωτέον δὲ πρότερον ὅστις τέ εἰμι καὶ ὅθεν, τοῦτο δὴ τὸ τοῖς ξυγγραφεῦσιν εἰθισμένον. ἐμοὶ Ἀγαθίας μὲν ὄνομα, Μύρινα δὲ | πατρίς, Μεμνόνιος δὲ πατήρ, τέχνη δὲ τὰ Ῥωμαίων νόμιμα καὶ οἱ τῶν δικαστηρίων ἀγῶνες. Μύριναν δέ φημι οὐ τὸ Θρᾴκιον πόλισμα οὐδὲ εἴ τις ἑτέρα κατὰ τὴν Εὐρώπην τυχὸν ἢ Λιβύην τῷδε κέκληται τῷ ὀνόματι, ἀλλὰ τὴν ἐν τῇ Ἀσίᾳ πάλαι ὑπὸ Αἰολέων ἀπῳκισμένην ἀμφὶ τὰς ἐκβολὰς τοῦ Πυθικοῦ ποταμοῦ, ὃς δὴ ῥέων ἐκ Λυδίας τῆς χώρας ἐς τὸν ἔσχατον αὐλῶνα τοῦ κόλπου τοῦ Ἐλαΐτου ἐμβάλλει. 15 γένοιτο μὲν οὖν ἐμοί γε τελεώτατα τῇδε ⟨τὰ⟩ τροφεῖα ὡς οἷόν τε ἀποτῖσαι καὶ ἅπαντα τὰ κλεινὰ καὶ πάτρια ἔργα ἐς τὸ ἀκριβὲς ἀναγράψαι. νῦν δὲ ἡ μὲν εὐμενὴς καὶ ἵλαος [καὶ] τῆς προθυμίας ἡμᾶς ἀποδεχέσθω· ἐμοὶ δὲ ἐπὶ τὰ κοινὰ καὶ μέγιστα τῶν πραγμάτων ἰτέον. 16 Ποιήσομαι δὲ τὴν ξυγγραφὴν οὐχ ᾗπερ καὶ ἑτέροις ἐν τῷ παρόντι πεποίηται. ἤδη γάρ που καὶ ἄλλοι τὰ νῦν ἐς τόδε πόνου ἀφίκοντο, ἀληθείας μὲν ὡς τὰ πολλὰ ἥκιστα μέλον αὐτοῖς καὶ τοῦ τὰ γεγενημένα ὡς ἔχουσι τύχης διεξιέναι, οὕτω δὲ διαφανῶς κολακεύειν πολλοὺς τῶν δυνατῶν καὶ ὑποθωπεύειν ἑλόμενοι, ὡς εἴ ποτε ἄρα καὶ ἀληθῆ φήσαιεν, ἀπιστεῖσθαι. 17 καίτοι ἐγκωμίῳ μόνῳ προσήκειν οἱ ταῦτα δεινοί φασι τὰ προσόντα ὁτῳοῦν ἀγαθὰ κατὰ τὸ μᾶλλον ἐξαίρειν· ἱστορία δὲ ἐπαινεῖν μὲν καὶ ἧδε τοὺς εὖ τι δράσαντας οὐ πάμπαν ἀναίνεται, οὐ μὴν τοῦτό γε σκοπόν, οἶμαι, καὶ γνώρισμα ἔχειν ἐθέλει· ἀλλ' εἴ που ἡ τῶν πράξεων ἀπεργασία ἔπαινον ἢ ψόγον ἐπάγοι, οὐ βιάζεσθαι αὐτῇ θέμις οὐδὲ μεταποικίλλειν τὰ γε|γενημένα. 18 οἱ δὲ ἱστορίαν μὲν ποιεῖσθαι ὁμολογοῦσι, καὶ τὸ τῆς ἐπιγραφῆς ἐπάγγελμα τοῦτο αὐτοῖς ὑποφαίνει, πεφώρανται δὲ ὅμως τῇ πείρᾳ κομψευόμενοι τὴν ἐπωνυμίαν. τοὺς μὲν γὰρ ἔτι περιόντας, εἴτε βασιλεῖς

LWA, $V^a$R, O 31 πεφώρανται — 32 ἐπωνυμίαν S s. v. κομψευόμενοι

1 καταπεπλῆχθαι O (cf. Isocr. ep. 4, 11 τὴν ἀπειρίαν τὴν αὐτοῦ καταπεπλῆχθαι): δεδιέναι LWA: καταπεπλῆσθαι $V^a$R δὲ om. $V^a$R 3 ἐστὶν ἢ $V^a$O: ἐστὶν LWA: ἢ R οἴκοθεν LWAO: οἴκαθεν $V^a$R 7 ἀλλά μοι — προθυμίας om. A εἴη om. L 8 πρότερον om. LWA 10 δὲ post Μεμνόνιος om. L 12 ἔστι κέκληται errato verum addens O 13 αἰόλων WA 16 τῇδε τελ. τρ. $V^a$ τὰ add. Ref 6 18 εἴη post εὐμενὴς add. O καὶ del. Key 23 δυναστῶν W ὑποθωπεύειν L$V^a$RO: θωπεύειν WA 25 μόνῳ om. W ὁτῳοῦν — 26 ἐξαίρειν om. A 27 σκοπόν LWAR: σκοπεῖν $V^a$: ἔργον O 29 ἐπάγει L αὐτῆς R καταποικίλλειν Di frustra

εἶεν εἴτε καὶ ἄλλως ἐπίσημοι, οὐ μόνον τῇ ἀφηγήσει τῶν ἐξειργασμένων ἐγκωμιάζουσιν (ἢ γὰρ ἂν ὀλίγα ἡμάρτανον), ἔνδηλοι δὲ ἅπασι γίγνονται, ὅτι δὴ αὐτοῖς οὐδέν τι ἄλλο διεσπούδασται ἢ μόνον ἐπαινεῖν τε καὶ ἄγασθαι καὶ πέρα τοῦ ἀναγκαίου· τοὺς δὲ ἤδη τεθνηκότας, ὁποῖοί τινες καὶ ἐτύγχανον ὄντες, ἢ κακίστους ἀποκαλοῦσι καὶ τὰ κοινὰ λυμηναμένους ἤ, τὸ γοῦν ἔλαττον δεινόν, κατολιγωροῦσιν αὐτῶν, ὡς μηδὲ μνήμης τινὸς μεταδιδόναι. 19 ταύτῃ τε οἴονται τὰ παρόντα εὖ τιθέναι καὶ τὸ ἀεὶ κρατοῦν ἐκθεραπεύοντες ὠφέλειαν σφίσι πορίζεσθαι, κακῶς ἐπιστάμενοι, ὡς καὶ αὐτοὺς δήπου τοὺς πρὸς αὐτῶν ἐπαινουμένους οὐ μάλα τὰ τοιάδε ἀρέσκει, λογιζομένους, ὡς οὐχ ἱκανὸν ἔσται τὸ τῆς κολακείας ἀρίδηλον τὴν περὶ αὐτῶν δόξαν βεβαιῶσαι. 20 οὗτοι μὲν οὖν ξυγγραφόντων, ὥς πῃ φίλον αὐτοῖς καὶ εἰθισμένον, ἐμοὶ δὲ τὸ ἀληθίζεσθαι περὶ πλείστου ἐκτέον, ἐς ὅ τι χωρήσει. μεμνήσομαι δὲ τῶν ὅσα παρά τε Ῥωμαίοις καὶ τῶν βαρβάρων τοῖς πλείστοις ἐς τόδε τοῦ καιροῦ ἐπράχθη ἀξι|αφήγητα, οὐ μόνον ὑπὸ ἀνδρῶν ἔτι βιούντων τυχόν, μᾶλλον μὲν οὖν καὶ τῶν ἤδη ἀποιχομένων, καὶ οὐδὲν ὅ τι παρήσω τῶν λόγου ἀξίων. 21 Τοιγάρτοι εἰ καὶ μὴ πρότερον ἐς τὸ ξυγγράφειν προῆγμαι ἢ μόνον ἐξ ὅτου Ἰουστῖνος ὁ νέος τὴν αὐτοκράτορα μετῆλθεν ἀρχήν, Ἰουστινιανοῦ τεθνηκότος, ἀλλ' ἔγωγε καὶ ἐπὶ τοὺς ἀνωτέρω χρόνους ἀναδραμοῦμαι καὶ ὁπόσα οὔπω ἑτέρῳ τῳ ἐκπεπόνηται, ταῦτα δὲ οἰκεῖον ποιήσομαι ἔργον. 22 τὰ μὲν γὰρ πλεῖστα τῶν κατὰ τοὺς Ἰουστινιανοῦ χρόνους γεγενημένων ἐπειδὴ Προκοπίῳ τῷ ῥήτορι τῷ Καισαρείαθεν ἐς τὸ ἀκριβὲς ἀναγέγραπται, παριτέον ἐκεῖνα ἔμοιγε, ἅτε δὴ ἀποχρώντως εἰρημένα· τὰ δὲ μετ' ἐκεῖνον, ὡς οἷόν τε, διεξιτέον. 23 προοίμια μὲν γὰρ αὐτῷ τῆς ἱστορίας Ἀρκάδιος ἀποβιοὺς ἐποιήθη καὶ τῷ ἐκείνου παιδὶ Θεοδοσίῳ Ἰσδιγέρδης ὁ Περσῶν βασιλεὺς κηδεμὼν γεγενημένος τά τε Οὐαραράνῃ καὶ Περόζῃ ξυνενεχθέντα καὶ ὅπως Καβάδης βασιλεὺς καταστὰς ἀφῄρηται τὴν ἀρχὴν καὶ εἶτα θᾶττον αὐτὴν ἀνεκομίσατο, ὅπως τε Ἄμιδα ἥλω πρὸς αὐτοῦ, Ἀναστασίου Ῥωμαίων βασιλεύοντος, καὶ ὅσους αὖθις μετ' ἐκεῖνον Ἰουστῖνος ὁ πρεσβύτης ἐν τῷδε τῷ ἔργῳ διεδέξατο πόνους. 24 ἑξῆς δὲ τοὺς Περσικοὺς πολέμους ὁπόσοι δὴ πρός τε Καβάδην καὶ Χοσρόην ἀμφὶ Συρίαν καὶ Ἀρ|μενίαν καὶ μὲν δὴ καὶ τὰ Λαζῶν ὅρια Ἰουστινιανῷ τῷ Ῥωμαίων αὐτοκράτορι διαπεπολέμηνται, τούτους δὲ ἅπαντας ἐκ τῶν Προκοπίου λόγων ἄριστα ἂν διαγνοίης, Γελίμερά τε τὸν Βανδίλον καὶ Καρχηδόνα τὴν πόλιν καὶ τὴν ξύμπασαν χώραν τῶν Ἄφρων ἀπὸ Βονιφατίου τε καὶ Γεζερίχου καὶ τῆς ἐν τῷ τότε ἀποστάσεως πολλοῖς ὕστερον χρόνοις Ἰουστινιανῷ δουλωθεῖσαν καὶ πάλιν τῆς Ῥωμαίων ἐπικρατείας μέρος γεγενημένην. 25 μετὰ δὲ τὴν τῶν Βανδίλων κατάλυσιν, καὶ ὅσα οἱ Μαυρούσιοι τὸ ἔθνος ἔδρασάν τε καὶ πεπόνθασι πολλαχοῦ τῆς Λιβύης κατὰ Ῥωμαίων παραταττόμενοι, ὅτι τε Στότζας καὶ Γόνθαρις Ῥωμαίων μὲν ἤστην, τυράννω δὲ καταστάντε μεγίστων συμφορῶν τε καὶ στάσεων αἰτιωτάτω τῇ Λιβύῃ γεγόνατον, καὶ ὡς οὐ πρότερον ἐλώφησε τὰ δεινά, πρὶν ἐκείνω τὼ ἄνδρε διαφθαρῆναι, ἀλλὰ καὶ τάδε ἀμέλει ἅπαντα εὕροις γε ἂν ἐν ἐκείνοις· 26 ὅπως τε ἡ στάσις ἡ ἐμφύλιος ἐν Βυζαντίῳ κατὰ τοῦ βασιλέως ἀρθεῖσα καὶ ἐπὶ μέγα κακοῦ ἀφιγμένη τὰ κοινὰ ἐδηλήσατο, τάς τε τῶν Οὔννων ἐπιδρομάς, οἳ δὴ ἐν τῷ τότε τὸν Ἴστρον ποταμὸν περαιωθέντες μέγιστα οἷα τὴν Ῥωμαίων ἀρχὴν ἐλυμήναντο, Ἰλλυριούς τε καὶ Θετταλοὺς καὶ τὰ πλεῖστα τῆς Εὐρώπης ληϊσάμενοι, μέρος δέ τι καὶ τῆς Ἀσίας, τὸν Ἑλλήσποντον διαβάντες. 27 Σουρῶν δὲ ἡ πόλις ἡ ἐν Συρίᾳ καὶ Βέρροια καὶ Ἀντιόχεια ἡ πρὸς | Ὀρόντῃ ποταμῷ ὅπως οἰκτρότατα ὑπὸ Χοσρόου πεπόρθηνται, τήν τε Ἐδέσσης πολιορκίαν καὶ ὅπως ἐνθένδε ἀποκρουσθεὶς ἔπειτα ἀπιὼν ᾤχετο, πάρεστι καὶ ταῦτα ἐν τοῖσδε θεάσασθαι τάς τε τῶν Αἰθιόπων καὶ Ὁμηριτῶν παρατάξεις καὶ ὅτου δὴ χάριν ἄμφω ἐκείνω τὼ φύλω ἐς τόδε δυσμενείας ἠλθέτην. 28 εἴρηται δὲ αὐτῷ πολλὰ καὶ τοῦ μεγίστου λοιμοῦ πέρι, ὅπως τε τὴν ἀρχὴν κατ' ἐκεῖνο τοῦ καιροῦ ἐς τὸ ἀνθρώπειον γένος εἰσήρρησε καὶ ὁποῖα ἄττα παράλογα ἐν αὐτῷ ξυνηνέχθη. 29 ἀλλὰ γὰρ καὶ ὁπόσα ὕστερον τῷ Ῥωμαίων στρατῷ ἀνὰ τὰ Λαζῶν πολίσματα καὶ Πέτρας τὸ φρούριον πρός τε Χοριάνην καὶ Μερμερόην καὶ τὰ Περσικὰ ἐξείργασται πλήθη, καὶ ταῦτα ἐκεῖθεν ἀναλεκτέον. 30 μεταβάντι δέ οἱ ἐπὶ τῆς Ἑσπέρας, ὅπως τε Θευδέριχος ὁ τῶν

25 Arcadius mortuus 1. die mens. Maii a. 408; Procop. Bell. 1, 2 29 Amida capta 11. die mens. Ian. a. 503; Procop. Bell. 1, 7, 29

LWA, V^aP (inde a 17 Τοιγάρτοι) R, O

2 γίγνονται V^aRO: γίν- LWA 4 πέραν O 7 τε LAV^aRO: δὲ W 9 πρὸς LWAO: πρὸ V^aR 12 ὥς πῃ LWAV^aO: ὥσπερ R 13 ἐς LWAO: εὖ V^aR καὶ ante χωρ. add. Hase; sed cf. 45, 2 14 εἰς W 16 οὖν om. L 19 ἀνωτέρους W 22 τῷ ante Καις. om. L 27 οὐαραράνῃ WAO: οὐαράνῃ L: οὐαραβάνῃ V^aR: *Urbano* P 33 διαπεπολέμηνται LAV^aR: διάπο πολέμων τε W: διαπεπόνηται it., διαπεπολέμηται img. cum γράφεται O



4 seditio Bonifatii a. 427; Proc. Bell. 3, 3, 14 sqq. 11 ἐν ἐκείνοις: Procop. Bell. 4 12 seditio, quae νίκα vocatur: mense Ian. a. 532; Procop. Bell. 1, 24 20 ἐν τοῖσδε: Procop. Bell. 2, 1—28 21 De Aethiopibus et Homeritis Proc. Bell. 1, 20 23 De peste magna Proc. Bell. 2, 22. 23 26 De rebus in regione Lazica gestis Proc. Bell. 8, 7—16 28 Theodericus mortuus 30. die mens. Sext. a. 526; Proc. Bell. 5, 1, 35—39

LWA, V^aPR, O

2 γελίμερά WA (coniec. Nieb): γελίμερ LV^aO: γελίμων R 5 μέρος LWAO: om. V^aPR 6 οἱ μαυρούσιοι LWAO: οἱ μαι cum spatio V^a: *gens illa* (Maurusiorum nomine omisso) P: οἶμαι R 8 στότζας LAV^aO: τζόντζας W: στώτζας R ῥωμαίων LWAV^aP (*partium Romanorum*) R: ῥωμαίω O 10 διαφθ. τὼ ἄ. L 13 οἳ LWAV^aP (*qui transgressi*) O: ὃς (ω sscr. 2. m.) R 14 δὲ pro δὴ W 16 τὸν ἑλλ. LWAO: τὴν ἑλλ. V^aR 19 ἐνδένδε LW: -δεν AV^aR: ἐνθάδε O 20 καὶ ταῦτα πάρεστιν O 23 λοιμοῦ LWAP (*morbo pestilentissimo*) O: λιμοῦ V^aR 24 ἐς τὸ LWAO: εἰς τὸ V^aR 25 καὶ LAO: om. WV^aR

Γότθων βασιλεὺς ἀπεβίω καὶ Ἀμαλασοῦνθα ἡ τοῦδε παῖς ὑπὸ Θευδάτου ἀνῄρηται καὶ ἅπαντα ὧν δὴ ἕνεκα ὁ Γοτθικὸς πόλεμος ἀνερράγη, οὐδὲ ταῦτα ἐκείνῳ παρεῖται, οὐ μὲν οὖν ἀλλ' οὐδὲ ὅπως Οὐίττιγις ὁ μετὰ Θεύδατον τοῦ Γοτθικοῦ γένους κρατήσας ὑπὸ Βελισαρίου τοῦ στρατηγοῦ μετά γε πλείστους ὅσους ἀγῶνας δορυάλωτος ἐς τὸ Βυζάντιον ἧκται, οὐδέ γε ὅπως Σικελία τε καὶ Ῥώμη καὶ Ἰταλία τοὺς ἐπήλυδας ἀποβαλοῦσα βαρβάρους πάλιν ἤθεσι πατρίοις μετεκοσμεῖτο. 31 λάβοι δὲ ἄν τις ἐνθένδε καὶ ὅτι Ναρσῆς ὁ τομίας ἐς Ἰταλίαν ἐστάλη, στρατηγὸς αὐτοκρά|τωρ πρὸς τοῦ βασιλέως γεγενημένος, τούς τε κλεινοὺς ἐκείνους πολέμους, οἳ δὴ αὐτῷ πρὸς Τωτίλαν ἄριστα διαπεπόνηνται, ὅτι τε αὖθις μετ' ἐκεῖνον Τείας ὁ Φρεδιγέρνου τὴν Γοτθικὴν ἡγεμονίαν διαδεξάμενος οὐκ ἐς μακρὰν καὶ αὐτὸς ἀνῃρέθη. 32 ταῦτα δὲ πάντα ἐς ἕκτον τε καὶ εἰκοστὸν ἔτος τῆς Ἰουστινιανοῦ βασιλείας γεγένηνται, καὶ Προκοπίῳ μὲν τῷ ῥήτορι ἐν τοῖσδε οἶμαι αὐτῷ τὰ τῆς ξυγγραφῆς διήνυσται καὶ ξυνετελέσθη· ἐγὼ δὲ ἐς τὰ ἐχόμενα τούτων, ἐφ' ἅπερ καὶ τὴν ἀρχὴν ὡρμήθην ἰέναι, καὶ δὴ ἐπὶ ταῦτα εἶμι. καὶ δὴ ἔχομαι τῶν πραγμάτων.

1. Ἐπειδὴ Τείας ὁ μετὰ Τωτίλαν τῶν Γότθων ἡγεμὼν καταστάς, ἀνακαλεσάμενος τὰς δυνάμεις καὶ ⟨ἐς⟩ πόλεμον πανσυδὶ πρός τε Ναρσῆν καὶ Ῥωμαίους παραταξάμενος ἡσσήθη τε κατὰ κράτος καὶ αὐτοῦ πολεμῶν διεφθάρη οἵ τε περισωθέντες τῶν Γότθων, ἐγκειμένων σφίσι Ῥωμαίων καὶ οὐκ ἀνιέντων, πιεζόμενοι ταῖς τε ἐπιδρομαῖς καὶ ὅτι ἐν χώρῳ ἀνύδρῳ ἐτύγχανον ξυνειλεγμένοι, σπονδὰς τίθενται πρὸς Ναρσῆν, ἐφ' ᾧ τὴν μὲν οἰκείαν ἀδεῶς νέμοιντο χώραν, βασιλεῖ δὲ τῷ Ῥωμαίων κατήκοοι τὸ λοιπὸν ὄντες διατελοῖεν· ἐπειδὴ ταῦτα τῇδε ἐχώρει, ἐδόκει

1 Amalasuntha necata a. 535; Proc. Bell. 5, 4, 27 5 Vittigis Byzantium ductus a. 540; Proc. Bell. 7, 1, 1 8 Narses in Italiam profectus a. 552; Proc. Bell. 8, 21 sqq. 12 Teia victus et occisus autumno a. 552; Proc. Bell. 8, 35 Annus 26. Iustiniani incipit a primo die mens. Apr. a. 552

LWA, $V^a$PR, O

3 ἀλλ' om. L οὐίττιγις R: οὐίτιγις LWAO: Ἴττιγις $V^a$ 5 ὅσους LWA: om. $V^a$RO ἐς AO: εἰς LWV$^a$R ἧκται AV$^a$P (*transmissum*) RO: ἵκται LW 8 τομίας LWAP (*eunuchum*) O: ταμίας $V^a$R 12 μακρὰν LWAO: μακρὸν $V^a$R 14 μὲν post τοῖσδε add. $V^a$R ad αὐτῷ cf. 13, 28 οἱ post Θευδιβέρτῳ 18 ἀνακαλεσάμενος τὰς $V^a$P (*in unum contractis*) RO: om. LWA ἐς add. Ref 30 coll. 24,14 πασσυδὶ O 19 αὐτὸς Guenther 21 τε om. W 23 ἀδεῆ O δὲ om. L τῶν R 24 τολοιπὸν LWA: λοιπὸν $V^a$RO ἐπειδε (sic) W